ᾗ μὲν ἐπ' Ἀσάνδρου κλίνω δέμας, ᾗ δὲ πάλιν μοι
ὀφθαλμὸς νεύει Τηλέφου ὀξύτερος.
τμήξατ' — ἐμοὶ τοῦθ' ἡδύ — καὶ εἰς πλάστιγγα δικαίην
νειμάμενοι, κλήρῳ τἀμὰ φέρεσθε μέλη.

## XX

τλῆμον Ἔρως, οὐ θῆλυν ἐμοὶ πόθον, ἀλλά τιν' αἰεί
δινεύεις στεροπὴν καύματος ἀρσενικοῦ·
ἄλλοτε γὰρ Δήμωνι πυρούμενος, ἄλλοτε λεύσσων
Ἰσμηνόν, δολιχοὺς αἰὲν ἔχω καμάτους.
οὐ μούνοις δ' ἐπὶ τοῖσι δεδόρκαμεν, ἀλλ' ἐπιπάντων
ἄρκυσι πουλυμανῆ κανθὸν ἐφελκόμεθα.

## XXI

Ζεῦ, προτέρῳ τέρπου Γανυμήδεϊ, τὸν δ' ἐμόν, ὦναξ,
Δέξανδρον δέρκευ τηλόθεν· οὐ φθονέω.
εἰ δὲ βίῃ τὸν καλὸν ἀποίσεαι, οὐκέτ' ἀνεκτῶς
δεσπόζεις· ἀπίτω καὶ τὸ βιοῦν ἐπὶ σοῦ.

## XXII

εἰαρινῷ χειμῶνι πανείκελος, ὦ Διόδωρε,
οὑμὸς ἔρως ἀσαφεῖ κινύμενος πελάγει·
καὶ ποτὲ μὲν φαίνεις πολὺν ὑετόν, ἄλλοτε δ' αὖτε
εὔδιος, ἁβρὰ γελῶν τ' ὄμμασιν ἐκκέχυσαι.
τυφλὰ δ' ὅπως ναυηγὸς ἐν οἴδματι κύματα μετρῶν
δινεῦμαι μεγάλῳ χείματι πλαζόμενος·